

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

L. N 1054

M

BIBLIOTHECA REGIA HAFNIENSIS

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

ΑΣΜΑΤΑ ΤΗΣ ΜΑΡΙΑΣ,

ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΥ, ΚΑΙ ΖΑΧΑΡΙΟΥ, ΚΑΙ ΣΙΜΕΩΝ, στίχοις ἡρωϊκοῖς ἑλληνικῶς ἐξειλημμένα.

CANTICA MARIAE VIRGINIS, ZACHARIAE ET SIMEONIS, CARMINE GRAECO *Heroico reddita.*

AD GENEROSVM ET MAGNIFICVM VIRVM, SPLENDORE GENERIS, ERVDITIONE, SAPIENTIA *& Virtutibus excellentem* D. EILERVM GRVBBE, *Dominum de* LYSTRVP, *Inclyti Regni* DANIAE *Cancellarium prudentißimum & Venerandi Capituli Lundenſis Præpoſitum dignißimum,* D. *Magiſtrum* HENRICVM BVSCHODVCENSEM, *Decanum.* D. *Magiſtrum* BALTHASARVM IACOBVM, *Archidiaconum; & D. Magiſtrum* VESELVM PALIMONIVM *Cantorem, eiuſdem Capituli prælatos reuerendißimos, Dominos & fautores ſuos ſumma obſeruantia & fide colendißimos.*

Autore

M. NICOLAO LAVRENTIO RIPENSI.

VVITEBERGAE
EXCVDEBAT IOHANNES CRATO,
ANNO M. D. LXXV.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

ἄσμα τῆς Μαρίας τῆς Ἁγίας Παρθένου

Λουκᾶ α.

Ψυχὴ ἐμεῖο θεὸν κλείει παγκοίρανον ὄντα
ὀβριμοεργὸν, ἔχει ὃς ὀλύμπια δώμα θ' ὕπερθεν.
καὶ μὲν πνεῦμα ἐμὸν θεῷ ἐν σωτῆρι ἀγαυῷ
γήθησεν γλυκερῶς, καὶ ἐνὶ στήθεσσιν ἰάνθη:
δούλην κεῖνος ἑὴν γὰρ ἐπέβλεψέν με πενιχρὴν,
καὶ ποτὶ παιδίσκην αὐτὸς πάπταινε ταπεινὴν.
ἠνίδ' ἐπιχθόνιοι μέροπες, νῦν σῖτον ἔδοντες,
ἐσσόμενοί τε βροτοὶ, παίδων καὶ παῖδες ὀπίσσω,
ἐκ τούτου συνάπαντες ἐμὲ κλείοντες, ἐροῦσι
πάντα χρόνον λίην εὐδαίμονα καὶ πολύολβον.
ὅττι ἐποίησεν μεγαλεῖα ἐκεῖνος ἔμοιγε,

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

ὅστις πανδύνατος πέλεταί τε, καὶ ὀβριμοεργὸς,
οὔνομα ἠδ' αὐτοῦ ἅγιον ζάθεόν τε ὑπάρχει.
ἡ δ' ἐλεημοσύνη κείνοιο μέν εἰ συνάπασιν
εὐσεβέεσσι βροτοῖς, καθαρῇς πραπίδεσσί μιν αἰὲν
ἀζομένοις, παίδων εἰς παῖδας ἐπ' ἤματα πάντα.
ἐξετέλεσσε κράτος τὸ μέγιστον ἐνὶ στιβαρῇσιν
χερσὶν ἑῇς, δύναμις μεγάλη ὅτι ἐστὶν ἐκείνου
ἄνδρας ὑπερθύμους κ' ἀγερώχους ἄλλυδις ἄλλη,
τῇ κραδίῃ καὶ φρεσσὶν ἐνὶ σφετέρῃσι σκέδαζε.
ἀνθρώπους δὲ καθεῖλε ἀπὸ κλεισμῶν τε θρόνων τε,
οἳ μὲν ἔσαν μεγάλῃ ἀλκῇ δυνάμει τε μέγιστοι:
ἠδ' ὕψωσ' αὖτις θυμὸν κραδίην τε ταπεινοὺς.
ῥεῖα γὰρ αὐτὸς ἅπαντα βροτὸν βριάοντα χαλέπτει,
καὶ μινύθει γαῦρον, κρατερῶς τε ἄδηλον ἀέξει.
πεινῶντας καὶ ἀποτμοτάτους, πενιχροὺς τάλανάς τε,
οἷσιν ὁ ἀργαλέος τὴν γαστέρα τείρεε λιμὸς,
ἔμπλησεν λιπαρῶς ἀγαθῶν νημερτὲς ἁπάντων.
ἠδ' αὖτις θνητοὺς πλοῦτον πάμπολλον ἔχοντας
κείμενον ἐν μεγάροισι, κενοὺς γυμνούς τε ἄφησε.
δέξατο Ἰσραὴλ ἑὸν ὄντα περικλυτὸν υἱὸν,
καὶ παῖδα ζάθεον: ἐλεήμων αὐτὸς ὑπάρχων
μέμνηται γὰρ ἑῆς ἐλεημοσύνης ἐροέσσης.
φάσκε καθὼς μάλα νημερτὲς πάρος ἡμετέροισιν
τοῖς πάτρεσσι θεοπνεύστοις, προγόνοισι καὶ ἄλλοις:
ἠδὲ ὑποσχόμενος μέγαν ὅρκον ὄμοσσε γεραιῷ
τῷ Ἀβραάμῳ, ἅπαντι ὁμῶς καὶ σπέρματι αὐτοῦ.
δόξα πέλῃ θεῷ οὖν ἐλεητόος εἵνεκα ταύτης,
εἰς τοὺς αἰῶνας, χρόνος εἰσόκεν ἔσται ὀπίσσω.

ἄσμα

ΑΣΜΑ ΤΟΥ ΖΑΧΑΡΙΟΥ

Λουκᾶ α.

Εὐλογίη καὶ δόξα θεῷ, τῷ ἄνακτι κρεόντων,
κυρίῳ ἀθανάτῳ τοῦ Ἰσραῆλος ἀγαυοῦ:
καὶ γὰρ ἔθεν λαὸν σαφέως ἐπέσκεψεν Ἑβραῖον,
ἠδ' ἐρατὴν αὐτῷ λύτρωσιν ἔτευξεν ὕπερθεν:
ἐκ πάντων μεγάλως ἀλγῶν κεῖνόν τε σάωζεν.
ἤγειρεν τὸ κρέας σωτήριον ἠδὲ ἀγαυὸν,
οἴκῳ ἐν εὐκτιμένῳ κλειτεῖο Δαβίδου ἄνακτος,
τοῦ παιδὸς σφετέροιο φίλου τε ἐϊμερόεντος,
ὡς ἐλάλησ' ἡμῶν γεραροῖς πάτρεσσ' ἁγίοισι
καὶ προγόνοισι, διὰ στόματος μέλιτος θεολήπτων
κηρύκων ἁγίων, θεοπνεύστων τε προφητῶν,
γραμματέες σαυετοὶ ἀπὸ ἀρχῆς οἳ ἀεὶ ἦσαν.
αὐτὸς λύτρωσιν σωτήριον ἄμμιν ὑπέστη
δοῦναι συμπάντων ἀπὸ δυσμενέων κακοέργων,

θυμὸν

καὶ λύσιν ἀντιδίκων ἐκ χειρῶν πάντοτε ἐχθρῶν.
θυμὸν ἔχων πῆμον καὶ ἐλεήμονα αὐτὸς ἑπεύξεν
καὶ ποίησ' ἔλεον, πατέρων μετόπισθεν ἐόντων
ἡμετέρων τε, Ϲ ἰφθίμων ἀρχέγονων ἀπὸ δέχης.
μνήσατο ὁμφαίης ἁγίης Ϲ ἐῆς διαθήκης,
ἠδὲ ὑποσχέσεως: πάντων γὰρ πρόσθεν ἔστιν.
ἐξαῦτις σφετέρης πρὸ ὅρκιον ἔμμενε,
ὃν πάρος ὤμοσε τῷ πατρὶ ἡμετέρῳ Ἀβραάμῳ,
ἄμμιν ὑποσχόμενος νημερτὲς ἑαυτὸν ὀπάσειν.
ὄφρ' ἀπαυδήτε φόβου κρατερῶς σιδαρῶν ἀπὸ χειρῶν
ῥυσθέντες δι' ἡμῶν ἐχθρῶν φθονερῶν τε κακῶν τε.
αὐτῷ λατρεύσωμεν ἀεὶ καθαρῶς θέμις ἐστὶ.
ἔν τε δικαιοσύνῃ ἅμα Ϲ ὁσίῃ ἐργέσσῃ:
εὐσεβέως διάγοντες ἀεὶ, ἔμπροσθεν ἐκείνου,
ἤματα πάντ', ἐσόκεν βίος ἔμπεδος ἕσσῃ ὀπίσσω.
Τυὴ καὶ φίλε υἱὲ, θεοῦ μεγάλοιο προφήτης
κληθήσῃ σωστὴς, πεπνυμένος ἠδὲ ἀγαυὸς.
καὶ σύγε γὰρ προπορεύσῃ ὀπιζομένως πρὸ προσώπου
κυρίου ὑψίστοιο θεοῦ τε, ἧ ἀρὴν ἑοίτου,
εἰλικρινέα καὶ ἑτοιμάζειν ὁδὸν αὐτῷ:
ἰδμοσύνῃσι θ' ἱερῇ λαὸν κείνοις διδάσκειν
σωτῆρος, πασῶν ἀφέσει ἐνὶ ἁμαρτιάων.
σπλάγχνῳ ἐλεημοσύνης διὰ δὲ θεοῦ ἡμετέρου,
οἷσιν ἐν αὐτολίης ἀπὸ ὑψόθεν ἄμμας ὄπωπε,
πρόθεν ἠδὲ φόως μερόπας δι' ἀπεσκέψατο θνητοὺς:
φωτίζειν πάντας θνητοὺς, πελανὰς μερόπας τε,
οἵτινες εἰαὶ ἤδη ἐνὶ ζόφῳ ἠερόεντι,
ἠδὲ σκιῇ θανάτοιο καὶ ἐν νεφέεσσιν ἑόντες,
τοὺς τε Ϲ ἠερόεν σκότος αἰνῶς ἀμφικαλύπτει:
ὄφρα ἧ ἡμετέρους πόδας εἰς ὁδὸν ἠδὲ κέλευθον
εἰρήνης διζύνῃ, ἐτήτυμον ἱμερόεσσης,
λυσιμερίμνως, ἀλεξικάκως Ϲ κερδοτρόφοιο.

ἄσμα

ἄΣΜΑ ΤΟΥ̃ ΣΥΜΕΩ̃ΝΟΣ,

Λȣκᾶ β.

Κύριε παντόκρατορ θεὸς, εὐρεῖ ὃς ἐμβασιλεύεις
ȣ̓λύμπῳ ἐ τῇ χθονὶ δίῃ βȣτιανείρῃ:
νῦν ἐμὲ ὄντα τεὸν θεράποντα ὀτρηρὸν ἀπελθεῖν
ἡσυχίως ἀπόδος, ζάθεον κ̃τ̃ ῥῆμα τεοῖο,
τ̃ μ̃τ̃ εἰρήνης ἐροέσσης, λυσιμερίμνȣ.
ὡς κατένευσας ἐμοὶ ἐ νῦν κρήηνον ἐέλδωρ:
ὄφρα ἐμὲ ςυγερὸν θανάτȣ σκότος ἀμφικαλύπτῃ,
ἠδὲ δύνωμαι ὁμῶς καὶ ἡδέα πότμον ἐπισπεῖν:
ὀφθαλμοὶ δὴ ἐμοὶ μάλα εὐφροσύνως γὰρ ἔβλεψαν,
λυτρωτήν τε τεὸν, σωτήριον ἠδὲ ἄμεμπτον:
ὅττινα ἡτοίμασσες ἔμην φωτισμὸν ἀγαυὸν,

ἠδὲ

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

ἠδὲ φάος λαμπρὸν, φέγγος τε καὶ ἀγλαὸν ἱρὸν:
ὅττι καὶ ἤδη, ἔτευξες ἐπισταμένως πρὸ προσώπου,
ἀλλοδαπῶν λαῶν κ' ἐθνῶν προπάροιθεν ἁπάντων:
ἠδὲ κλέος μέγα καὶ δόξαν λαοῖο τεοῖο,
Ἑβραίου ζαθέου καὶ Ἰσραῆλος ἀγαυοῦ.

τῷ θεῷ δόξα μόνῳ.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)

4071.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
Hielmst. 4071 4° (LN 1054)